eul_wid: kfk-aa

*Κωμικὰ ἀποσπάσματα* · Comic Fragments Anonymous I

# Fragments of Uncertain Comedy

## *Ἀποσπάσματα Ἀδήλου Κωμῳδίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Συναγωγή* Collection

27 ὁ πλεῖστα πίνων πλεῖστα κεὐφρανθήσεται.

28 σφοδροῖς κατηντλῆσθαι λόγοις.

29 ἀρδευθεὶς τὴν ψυχὴν πάνυ πειναλέος γεγένημαι.

30 ὦ στωμυλῆθραι δαιταλεῖς.

31 ἐγὼ δὲ φιλοπλάκουντος ὢν οὐκ ἂν περιεῖδον ...

32 γλωττοδεψεῖν

33 μάχλον

34 κηποκόμαν σκαφιόκουρον

35 ὄψ’ ἦλθες, ἀλλ’ ἐς τὸν Κολωνὸν ἵεσο.

36 σκιὰ τὰ θνητῶν

37 αὔξιμον.

38 ἡνίκα μὲν βασιλεὺς ἦν Χοιρίλος ἐν σατύροις.

39 ] . σε . [ ..... ] τάδ[ε ]τρέχειν ἐκ γειτ[ον ]τι λυπήσας τυχω[ ]τα πειθαρχοῦντα [ ] τρόπον προσιό[ντ ] τινι λαλεῖς [ ]ιαν Νουμήνιε [ ]ερος· εἰνεγμαι μ[ μὰ τ]οὺς δώδεκα θε[οὺς

40 . . . . . . . . ] .. [ ]δη μου[ ...... ]ηλυς[ ] . τοις ἐνο . [ .. ]ροις θεοῖς ] . κως οὐκ ἂν ἐβίων οὐδ’ ἅπαξ ]η μοι τῆς πόλεως πλεῖστον πολὺ ]αμοι διαφθείρουσι νῦν Ἀλέξαν]δροί τε καὶ Πάριδες ὁμοῦ ] τῶν ἐνθάδε· ] παρέλειπον πρὸ τ[ο]ῦ ] . εἰς ἀνάκρισιν [ Sequuntur vestigia 3 versuum.

41 ἑνὸς χανόντος μετακέχηνεν ἅτερος.

42 οὐκοῦν ἀγοράσαι χρὴ νὼ πρὶν ἀπιέναι;

43 βούλει κομίσω σοι τὴν λεκάνην ἐγώ;

44 ὑπερδεδίσκηκας πονηρίᾳ πάντας.

45 θόρυβον πυκνίτην

46 εὐρυχωρίας σε δεῖ.

47 αἰγὸς τρόπον μάχαιραν ἐσκάλευσά 〈μοι〉 .

48 ἥδε καλλιστέφανος.

49

ἂν μὴ λεοντῆ 〈γ’〉 ἐξίκητ’, ἀλωπεκῆν πρόσαψον.

50 ἄνω ποταμῶν τὰ πράγματ’ εἶναί μοι δοκεῖ.

51 οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος, ὃς ἢ πονηροὺς πάντας ἢ χρηστοὺς ποεῖ.

52 μηδέποτε δόξῃς φίλον ἔχειν πράττων καλῶς· πεσὼν δ’ ἐὰν σχῇς, τότε νόμιζ’ ἔχειν φίλον.

53 εὐρῶτι γήρως τὰς τρίχας βεβαμμένος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org